λόγραμμον τῷ ΕΠ παραλληλογράμμῳ· διὰ τὰ αὐτὰ
δὴ καὶ τὸ μὲν ΒΝ τῷ ΕΡ ὅμοιόν ἐστι· τὸ δὲ ΒΚ τῷ ΕΞ·
τὰ τρία ἄρα τὰ ΜΒ ΒΚ ΒΝ τρισὶ τοῖς ΕΠ ΕΞ ΕΡ ὅ-
μοιά ἐστιν· ἀλλὰ τὰ μὲν τρία τὰ ΜΒ ΒΚ ΒΝ τρισὶ τοῖς
ἀπεναντίον ἴσα τέ ἐστι καὶ ὅμοιά ἐστιν· τὰ δὲ τρία ΕΠ ΕΞ
ΕΡ ἴσα τέ ἐστι καὶ ὅμοια τρισὶ τοῖς ἀπεναντίον ἐστί· τὰ
ΒΗΜΛ ΕΘΠΟ ἄρα στερεὰ ὑπὸ ὁμοίων ἐπιπέδων
ἴσων τὸ πλῆθος περιέχεται· ὅμοιον ἄρα ἐστὶ τὸ ΒΗ
ΜΛ στερεὸν τῷ ΕΘΠΟ στερεῷ· τὰ δὲ ὅμοια στερε-
ἐ̊ λγ τ ια ὰ παραλληλεπίπεδα ἐν τριπλασίονι λόγῳ ἐστὶ
τῶν ὁμολόγων πλευρῶν· τὸ ΒΗΜΛ ἄρα στερεὸν
πρὸς τὸ ΕΘΠΟ στερεὸν τριπλασίονα λόγον ἔχει ἤ-
περ ἡ ὁμόλογος πλευρὰ ἡ ΒΓ πρὸς τὴν ὁμόλογον πλευ-
ρὰν τὴν ΕΖ· ὡς δὲ τὸ ΒΗΜΛ στερεὸν πρὸς τὸ ΕΘΠΟ στε-
ρεόν· οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυ-
ραμίδα· ἐπειδήπερ ἡ πυραμὶς ἕκτον μέρος ἐστὶ
ἐ̊ προάγ. τοῦ στερεοῦ· διὰ τὸ καὶ τὸ πρίσμα ἥμισυ ὄν, τοῦ στερε-
οῦ παραλληλεπιπέδου τριπλάσιον εἶναι τῆς πυρα-
μίδος· καὶ ἡ ΑΒΓΗ ἄρα πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυ-
ραμίδα τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς
τὴν ΕΖ· ὅπερ ἔδει δεῖξαι· ἐκ δὴ τούτου φανερόν
πο ὅτι καὶ αἱ πολυγώνους ἔχουσαι [illegible]
δες πρὸς ἀλλήλας· ἐν τρι[illegible] τῶν
ὁμολόγων πλευρῶν· διαιρεθει[illegible] ἐν
αὐταῖς πυραμίδας τριγώνους [illegible] ἐχούσας
τῷ καὶ τὰ ὅμοια [illegible] εἰς ὅμοια

-ιθ-

τρίγωνα διαιρεῖσθαι καὶ ἴσα τῷ πλήθει καὶ ὁμόλογα τοῖς
ὅλοις· ἔσται ὡς ἡ ἐν τῇ ἑτέρᾳ μία πυραμὶς τρίγωνον
ἔχουσα βάσιν πρὸς τὴν ἐν τῇ ἑτέρᾳ μίαν πυραμίδα
τρίγωνον βάσιν ἔχουσαν· οὕτως καὶ ἅπασαι αἱ ἐν τῇ
ἑτέρᾳ πυραμίδι πυραμίδες τριγώνους ἔχουσαι βά-
σεις πρὸς τὰς ἐν τῇ ἑτέρᾳ πυραμίδι πυραμίδας τρι-
γώνους βάσεις ἐχούσας· τουτέστιν αὐτὴ ἡ πολύγωνον
βάσιν ἔχουσα πυραμὶς πρὸς τὴν πολύγωνον βάσιν ἔ-
χουσαν πυραμίδα· ἡ δὲ τρίγωνον βάσιν ἔχουσα
πυραμὶς πρὸς τὴν τρίγωνον βάσιν ἔχουσαν· ἐν τρι-
πλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν· καὶ ἡ πο-
λύγωνον ἄρα βάσιν ἔχουσα πρὸς τὴν ὁμοίαν βάσιν ἔ-
χουσαν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ πλευρὰ πρὸς
τὴν πλευράν :~



ιθ Τῶν ἴσων πυραμίδων καὶ τριγώνους βάσεις ἐχουσῶν·
ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· καὶ ὧν, πυρα-
μίδων τριγώνους βάσεις ἐχουσῶν ἀντιπεπόνθασιν
αἱ βάσεις τοῖς ὕψεσιν. ἴσαι εἰσὶν ἐκεῖναι· ἔστωσαν γὰρ

BIBLIOTHECA BODLEIANA

ιε

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo